UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Hermogeni Episcopo. 276.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ſtudioſus eſt, vt ſeruorum gregibus circũſeptus, ipſe famulornm munera vnà cum vxore exequi velit? Quiſnam tanta fide prædîtus eſt, vt Palæſtinam vniuerſam in pollicitatione complexus, ſi ſepulchrum emendum haberet, vt ille, non ambiguo, atque ancipiti animo eſſet, ſecúmqne hæſitaret? Quiſnam vſque adeò pecuniarum cupiditatem fregit, vt barbarica ſpolia, & Perſicam prædam contemnat, ac pro nihilo putet? Verùm neſcio quonam pacto eo proceſſi, vt virum illum contumelia afficerem, dum eum cum eiuſmodi viris comparo: ſed nihil moleſti atque acerbi dicere volo. Illud vnum dicam, ac poſteà finem faciam: Si & eorum virtutes & defectus habentes, poſteà cùm ob defectus accuſarentur, illos in medium proferrent, & ſi ne ſic quidem iuſtam excuſationem haberēt (neque enim idem eſt, ante Legem, & in Lege, & poſt Legem, & Gratiam munus vitæ obire) tamen aliquam fortaſſe excuſationis vmbram haberent. Cùm autem virtutibus quidem vacui, vitiis autem obnoxij atque conſtricti, omiſſis illorum virtutibus, defectus duntaxat proferant, omni prorſus condemnatione digni ſunt.

τῆς φύσεως τρόπαιον; τίς οὕτω φιλόξενος, ὃς πολλοῖς κεκυκλωμένος οἰκέταις, αὐτὸς τὰ τῶν οἰκετῶν μετὰ τῆς ὁμοζύγου διαπράξασθαι θελήσειε. τίς οὕτω πιστὸς, ὃς ἐν ἐπαγγελίαις τὴν Παλαιστίνην πᾶσαν συλλαβὼν, εἰ τάφον ἀγοράσειν, ὥσπερ ἐκεῖνος, οὐκ ἂν διακριθείη; τίς οὕτω χρημάτων κρείττων, ὡς βαρβαρικῶν σκύλων, καὶ περσικῶν λαφύρων καταφρονῆσαι. ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅπως προήχθην ὑβρίσαι τὸν ἄνδρα, ἀνδράσιν αὐτὸν παραβάλλων. ἀλλ᾽ οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν. ἐκεῖνο δὲ μόνον φράσας, καταπαύσω, ὅτι εἰ μὲν καὶ τὰ πλεονεκτήματα αὐτῶν ἔχοντες, καὶ τὰ ἐλαττώματα. εἶτ᾽ ἐγκαλούμενοι ἐπὶ τοῖς ἐλαττώμασιν ἐκείνους προέφερον, μάλιστα μὲν οὐδ᾽ οὕτως δικαίαν εἶχον ἀπολογίαν. οὐ γὰρ ταυτὸν τὸ πρὸ νόμου, καὶ μετὰ νόμου, καὶ μετὰ νόμον, καὶ χάριν πολιτεύεσθαι, πλὴν ἀλλὰ τάχα ἂν, εἶχον σκιὰν ἀπολογίας. εἰ δὲ κατορθωμάτων μὲν χηρεύοντες, ἐλαττώμασι δὲ ἐνεχόμενοι, τὰ πλεονεκτήματα ἐκείνων ἀφέμενοι, τὰ ἐλαττώματα προφέροιεν, πάσης εἰσὶ καταγνώσεως ἄξιοι.

Hieraci clariſsimo. 275.

Vita ſine ſermone magis prodeſſe ſolet, quàm ſermo ſine vita. Nam illa etiam tacens ptodeſt: hic autem etiam clamans moleſtiam affert. At ſi & ſermo & vita in vnum occurrant, omnis philoſophiæ ſimulachrum efficiunt.

Ἱέρακι λαμπροτάτῳ. σοε.

Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν, ἢ λόγος ἄνευ βίου. ὁ μὲν γὰρ καὶ σιγῶν ὠφελεῖ· ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ. εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμοιεν, φιφιλοσοφίας ἁπάσης ἀποτελοῦσιν ἄγαλμα.

Hermogeni Epiſcopo. 276.

Quòd Martinianus, & Zozimus ac Maro, digni, vt abs te dictum eſt, Euſebio diſcipuli, & eum apud omnes, & omnes apud eũ criminẽtur, perſpicuum eſt. Quòd autẽ vis illa ſcelerum vltrix nec illum nec iſtos ſemper toleratura, verùm dignas iis quæ perpetrarũt atque non perpetrant pœnas ab ipſis expetitura ſit, id quoque liquet.

Ἑρμογένει ἐπισκόπῳ. σοϛ.

Ὅτι μὲν Μαρτινιανός τε καὶ Ζώσιμος καὶ Μάρων, οἱ ἄξιοι Εὐσεβίου, ὡς ἔφης, φοιτηταὶ διαβάλλουσιν αὐτόν τε πᾶσιν, αὐτῷ τε πάντας δῆλόν ἐστιν. ὅτι δὲ οὐκ εἰς τέλος ἡ δίκη ἀνάσχοιτο οὔτ᾽ ἐκεῖνον, οὔτε τούτους, ἀλλὰ δίκην αὐτοὺς εἰσπράξεται, ἀξίας ὧν ἔδρασάν τε καὶ δρῶσι, καὶ τοῦτο δῆλον. οὐδεὶς

γὰρ

γὰρ ἀδικῶν τὴν δίκην ἔλαθεν. ἀλλ᾽ οἱ μὲν ἐνταῦθα. οἱ δὲ ἐκεῖσε ἔδοσαν δίκην.

Τῷ αὐτῷ. σοζ.

Εἰ τὴν πενίαν κρινομένην ἐλεεῖσθαι οὐ θέμις· οὐ γὰρ δίκαιον ἀδικεῖσθαι τὸ δίκαιον· οἱ τῷ πλούτῳ τὴν ψῆφον ἀδίκως νέμοντες, καὶ λήμματι τὸν τῆς δικαιοσύνης ζυγὸν παρασαλεύοντες, ποίας οὐκ ἂν δικαίως ἀπολαύσοιεν τιμωρίας. εἰ γὰρ ἡ ὑπὸ ἀνάγκης πολλάκις πολυπραγμονοῦσα συγγνώμης οὐκ ἠξιώθη· ἐχρῆν γὰρ παρακαλεῖν, ἀλλὰ μὴ ἐγκαλεῖν, τῷ ὑπὸ πολλῆς τρυφῆς εἰς τὸ δίκαιον ἐξυβρίζοντι τὴν ψῆφον νέμων, ποίας ἀπολαύσεται συγγνώμης;

Νείλῳ. σοη.

Οὐ ταυτὸν, ὦ βέλτιστε, τὸ ἐξαίφνης ἰδεῖν καὶ τρωθῆναι, καὶ τὸ μετὰ σπουδῆς τὰ ἀλλότρια θηρώμενον κάλλη τὸ αὐτὸ παθεῖν. ὁ μὲν γὰρ ἐξαίφνης ἰδὼν καὶ τρωθεὶς, δύναται λογισμῷ σώφρονι καὶ τὸ βέλος ἐξελκύσαι, καὶ τὸ τραῦμα θεραπεῦσαι· φάρμακον δ᾽ ἄριστον τῷ τοιούτῳ πάθει, νηστεία, καὶ τὸ μηκέτι τὴν τρώσασαν θεάσασθαι. ἀλλ᾽ εἰ καὶ ἀνάγκη γένοιτο, τοῖς ὀφθαλμοῖς ἡνίας ἐμβαλεῖν, καὶ εἰς γῆν αὐτοὺς τρέψαι, ἐξ ἧς τὸ ἄνθος ἐκεῖνο ἤνθησε, καὶ εἰς ἣν μετὰ βραχὺ μαρανθὲν ἀναλυθήσεται. ὁ δὲ συνεχῶς καὶ μετὰ σπουδῆς ὁρῶν, κἂν μὴ τῷ σώματι δράσειεν. ἀλλά γε τῇ ψυχῇ τὴν ἁμαρτίαν ἀποτελέσειε. διὰ γὰρ τῆς θέας θεραπεύων τὸ πάθος, διὰ τῆς συγκαταθέσεως τὸ ἄγος πληροῖ. εἰ μὴ γὰρ ἐμάλαξεν αὐτοῦ τῆς ψυχῆς τὴν ἰσχὺν ἡ ἐπιθυμία, οὐκ ἂν ἔσπευσεν ἰδεῖν, ἣν φυγεῖν προτροπάδην ἐχρῆν· διὸ καὶ ὁ θεῖος χρησμὸς, οὐ τοὺς ἁπλῶς ἰδόντας καὶ τρωθέντας· συμβαίνει γὰρ πολλάκις ἀβουλήτως γενέσθαι, ἀλλὰ τοὺς ὁρῶντας καὶ ἔργον τοῦτο τιθεμένους, μοιχοὺς εἶναι

Nemo enim iniuſtè agẽs, diuinã iuſtitiam latuit: verùm alij in hac vita, alij in altera pœnas pependerunt.

Eidem. 277.

Si paupertatem iudicio diſceptantem miſericordia proſequi nefas eſt (neque enim ius lædi æquum eſt) qui victorem calculum diuitiis iniquè tribuunt, atque iuſtitiæ lancem quæſtu labefactant, ac nutantem reddunt , quo tandem cruciatu affici non mereantur? Nam cùm ea, que perſæpe neceſſitate adducta negotiis ſeſe inuoluit, veniam minimè conſequatur (oportet enim eam deprecari atque obſecrare, ac non accuſare) qui præ luxu & deliciis ius contumelia afficienti victoriæ calculum tribuit, quam tandem veniam conſequetur?

Nilo. 278.

Non idẽ eſt, optime vir, repẽtè videre, ac ſauciari, & cõſultò ac de induſtria pulchritudines alienas aucupantẽ in eandẽ fraudem labi. Nam qui repentè conſpexit, ac vulnus accepit, is prudenti ratione poteſt, & telum extrahere, & vulneri mederi. Præſtantiſſimum porrò huic morbo remedium in ieiunio ſitum eſt, atque in eo, vt poſthac eam, quæ vulnus ipſi inflixit, minimè proſpiciat, aut etiam, ſi neceſſitas hoc ferat, oculis habenas iniiciat, eóſque in terram (ex qua flos ille manauit, & in quam haud multo pòſt marcore affectus dilabetur) conuertat. At qui aſſiduè ac dedita opera fœminam intuetur, etiamſi corpore ſcelus minimè perpetret, & animo certè perficiet. Nam cùm per aſpectum libidinem deliniat, per animi aſſenſum ſcelus explet. Niſi enim ipſi animi vires cupiditas emolliiſſet, haudquaquam eam videre properaſſet, quã effuſiſſimo curſu fugere oportebat. Ob eamque cauſam diuinũ oraculum non eos qui duntaxat & fortuitò viderunt, ac vulnus acceperunt (ſæpe enim contingit, vt id præter voluntatem exiſtat) verùm eos qui cernunt, atque hoc pro opere habent, adulteros eſſe pronun-